περὶ τοῦ αὐτοῦ πράγματος δυνατὸν φροντίσαι καὶ τὸν πολιτικὸν καὶ τὸν ῥήτορα καὶ τὸν καθέκαστα τεχνίτην κατ' ἄλλο καὶ ἄλλο. ἀλλ' ὁ μὲν πολιτικὸς κελεύει, ὅτι δεῖ ἰατρὸν εἶναι ἐν τῇ πόλει καὶ ἰατρὸν χειρουργὸν ἵνα

ἰοὺς τ' ἐκτάμνῃ ἔπειτ' ἤπια φάρμακα πάσσῃ.

λοιπὸν ὁ ῥήτωρ πείθει μόνον· καὶ ὥσπερ ὁ ἰατρὸς διαφόροις βοηθήμασι κέχρηται πρὸς τὰ διάφορα πάθη, οὕτως καὶ ὁ ῥήτωρ πρὸς τὰ καθέκαστα ἄλλως καὶ ἄλλως πείθει· ἑτέροις μὲν γὰρ λόγοις πείθει ἰατρόν, ἄλλοις δὲ ἀρχιτέκτονα. λοιπὸν πεισθέντος τοῦ ἰατροῦ οὐκέτι ὀφείλει τι λέγειν ὁ ῥήτωρ ἕνεκεν ἰατρικῶν λόγων, ἀλλ' ὁ ἰατρός, ἐπεὶ οὕτω σύγχυσις ἔσται. ἀμέλει αὐτὸς ὁ Γοργίας λέγει, ὅτι καὶ ἰατρῶν ἰατρικώτερός εἰμι, τοῦ γὰρ ἀδελφοῦ μου Ἡροδίκου μὴ δυνηθέντος πεῖσαι τὸν κάμνοντα δέξασθαι φάρμακον, ἐγὼ ἔπεισα. ἰστέον δέ, ὅτι οὐ δεῖ οὕτως, οὐδὲ γὰρ ἐπιστήμη ἰατρικῇ ἔπεισεν· εἰ οὖν ἰατρὸς ἐπαγγέλλεται εἶναι, ἔσται καὶ ἀρχιτέκτων καὶ οἰκοδόμος καὶ σύγχυσις ἔσται. δεῖ οὖν τάξιν εἶναι. οὕτω γοῦν καὶ ὁ Δημοσθένης ῥήτωρ ὢν σύγχυσιν ἐποίησεν εἰπών, ὅτι δεῖ ἐν Μακεδονίᾳ πολεμῆσαι· οὐ ῥήτορος γὰρ τοῦτο ἀλλὰ στρατηγοῦ· οὗτος γὰρ λέγει ποῦ τε δεῖ πολεμῆσαι καὶ πῶς, ὥσπερ ὁ ἀρχιτέκτων ποῦ τε δεῖ λιμένα εἶναι ἢ τεῖχος καὶ ποῦ οὐ χρή. δεῖ οὖν ἕκαστον ἐπὶ τῶν οἰκείων βαθμῶν μένειν· τὸν ἰατρὸν ἐπὶ τῶν ἰατρικῶν ἔργων, τὸν ἀρχιτέκτονα ἐπὶ τῶν ἀρχιτεκτονικῶν, τὸν μουσικὸν ἐπὶ τῶν ἔργων τῶν ἰδίων, ἵνα μὴ μόνον ἁρμονίας, ὅ ἐστι κιθάρας, φροντίζῃ ἀλλὰ καὶ νοημάτων καλλίστων, ἐπειδὴ πρὸς ἀνθρώπους ἡ μουσικὴ καὶ οὐ πρὸς ἄλογα· καὶ γὰρ καὶ τὰ ἄλογα ἥδονται μέλει. ἀμέλει οἱ ποιμένες μέλει κέχρηνται ἐγείροντι πρὸς νομὴν τὰ πρόβατα καὶ πάλιν ἄλλῳ προσκαλουμένῳ αὐτὰ καὶ φέροντι εἰς ἕνα τόπον. δεῖ οὖν μὴ οὕτως ἁπλῶς ἀσκεῖν μουσικὴν ἀλλὰ καὶ τὰ νοήματα ἀστεῖα εἶναι καὶ μήτε μυθώδη, ἃ περὶ θεῶν λέγονται, μήτε μὴν οἷα περὶ ἡρώων δακρυόντων, ὅπου γε οὐδὲ περὶ αὐτῶν ἀνθρώπων χρὴ λέγειν ᾄσματα, ὅτι τε κρέα ἐσθίουσι καὶ πίνουσιν οἶνον· ταῦτα γὰρ ἁρμόζει τοῖς δίκην βοσκημάτων ζῶσιν. πανταχοῦ οὖν ἕκαστος

---

5 Λ 515  19 Demosth. orat. V 14